**36**. Ἀλλ' ἤρκει, φησίν, ἡ θεότης ἀντὶ τοῦ νοῦ. Τί οὖν
πρὸς ἐμὲ τοῦτο ; Θεότης γὰρ μετὰ σαρκὸς μόνης οὐκ
ἄνθρωπος, ἀλλ' οὐδὲ ψυχῆς μόνης, οὐδὲ ἀμφοτέρων χωρὶς
τοῦ νοῦ, ὃ καὶ μᾶλλον ἄνθρωπος. Τήρει οὖν τὸν ἄνθρωπον
ὅλον καὶ μῖξον τὴν θεότητα, ἵνα με τελέως εὐεργετῇς.
**37**. Ἀλλ' οὐκ ἐχώρει, φησί, δύο τέλεια. Οὐδὲ γάρ, εἴπερ
σωματικῶς σκοπεῖς. Ἀγγεῖον γὰρ μεδιμναῖον οὐ χωρήσει
διμέδιμνον, οὐδὲ σώματος ἑνὸς τόπος δύο ἢ πλείω σώματα ·
C **38**. εἰ δὲ ὡς νοητὰ καὶ ἀσώματα, σκόπει ὅτι καὶ ψυχὴν
καὶ λόγον καὶ νοῦν καὶ Πνεῦμα ἅγιον ὁ αὐτὸς ἐχώρησα καὶ
πρὸ ἐμοῦ τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα
ὁ κόσμος οὗτος, τὸ ἐξ ὁρατῶν λέγω καὶ ἀοράτων σύστημα [y].
**39**. Τοιαύτη γὰρ ἡ τῶν νοητῶν φύσις, ἀσωμάτως καὶ
ἀμερίστως καὶ ἀλλήλοις καὶ σώμασι μίγνυσθαι. Ἐπεὶ καὶ
φωναὶ πλείους ἀκοῇ μιᾷ χωρηταί, καὶ ὄψεις πλειόνων τοῖς
αὐτοῖς ὁρατοῖς, καὶ ὀσφραντοῖς ὄσφρησις, οὔτε τῶν
αἰσθήσεων στενοχωρουμένων ὑπ' ἀλλήλων ἢ ἐκθλιβομένων,
οὔτε τῶν αἰσθητῶν ἐλαττουμένων τῷ πλήθει τῆς ἀντιλήψεως.
185 A **40**. Ποῦ δὲ καὶ τέλειον νοῦς ἀνθρώπου ἢ καὶ ἀγγέλου
συγκρίσει θεότητος, ἵνα τὸ ἕτερον ἐκθλιβῇ παρουσίᾳ τοῦ
μείζονος ; Οὐδὲ γὰρ αὐγή τις πρὸς ἥλιον, οὐδὲ νοτὶς ὀλίγη